Α 10 17x
Pet-9280

# ΑΚΟΛΟΥΘΙΑ

ΤΩΝ ΑΓΙΩΝ ΜΑΡΤΥΡΩΝ

## ΘΕΟΔΟΣΙΑΣ

ΤΗΣ ΤΥΡΙΑΣ

ΚΑΙ

## ΘΕΟΔΟΣΙΑΣ

ΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΙΤΙΣΣΗΣ

ΣΥΝΤΑΧΘΕΙΣΑ ΜΕΝ
ΥΠΟ ΤΟΥ ΕΝ ΟΣΙΟΙΣ
**ΝΙΚΟΔΗΜΟΥ ΑΓΙΟΡΕΙΤΟΥ**
ΤΟΥ ΝΑΞΙΟΥ

ΝΥΝ ΔΕ ΤΟ ΠΡΩΤΟΝ ΕΚΔΙΔΟΜΕΝΗ
ΥΠΟ
**ΕΜΜΑΝΟΥΗΛ Ι. ΚΑΡΠΑΘΙΟΥ**
ΑΡΧΙΜΑΝΔΡΙΤΟΥ

ΕΝ ΑΘΗΝΑΙΣ
ΟΔΟΣ ΘΕΡΜΟΠΥΛΩΝ 43
1933.

ΒΙΒΛΙΟΘΗΚΗ ΜΗΤΡΟΠΟΛΙΤΟΥ ΗΛΕΙΑΣ ΑΝΤΩΝΙΟΥ
ΨΥΧΗΣ ΙΑΤΡΕΙΟΝ
ΑΡΙΘ.
ΑΠΚΒ'
ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ΒΙΒΛΙΟΘΗΚΗ ΜΗΤΡΟΠΟΛΙΤΟΥ ΗΛΕΙΑΣ ΑΝΤΩΝΙΟΥ
ΨΥΧΗΣ ΙΑΤΡΕΙΟΝ
IC XP
NI KA
ΑΓΙΟΘ.
ΑΠΚΒ'
110/213

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ΕΙΣ ΜΝΗΜΟΣΥΝΟΝ
ΤΗΣ ΘΕΙΑΣ ΜΟΥ
ΣΟΦΙΑΣ ΑΝΤ. ΒΟΓΙΑΤΖΗ

## ΤΟΙΣ ΕΝΤΕΥΞΟΜΕΝΟΙΣ

*Πλησίον τοῦ γυμνασιακοῦ μεγάρου τῆς πόλεως Νάξου κεῖται ὁ ἐπ' ὀνόματι τῆς ἁγίας Θεοδοσίας τιμώμενος ἱερὸς ναός. Ὡς εἶναι δυνατὸν νὰ συναγάγωμεν ἐκ τῆς περιβολῆς τῆς εἰκονιζομένης ἁγίας ἐπὶ τῆς μεγάλης εἰκόνος της, τῆς ἀνηρτημένης ἐπὶ τοῦ εἰκονοστασίου, εἰκόνος ἡ ὁποία ἔχει, πιστεύω, τὴν ἀξίαν της καὶ ἀπὸ τεχνικῆς ἀπόψεως, ὁ ἱερὸς ναὸς εἶναι ἀφιερωμένος εἰς τὴν ἁγίαν Θεοδοσίαν τὴν Τυρίαν. Ἀλλ' ὁ ἐν ὁσίοις ἀκαταπόνητος ἐκεῖνος Νάξιος μοναχός, Νικόδημος, ὁ ἐπικαλούμενος Ἁγιορείτης, λαβὼν ἀφορμὴν ἐκ τοῦ ὅτι κατ' αὐτὴν ταύτην τὴν ἡμέραν συνεορτάζεται καί ἡ μνήμη τῆς ἁγίας Θεοδοσίας τῆς Κωνσταντινουπολιτίσσης, ἔσχε τὴν ἀγαστὴν ἔμπνευσιν νὰ ᾀσματογραφήσῃ καὶ τὰς δύο συνωνύμους ἁγίας, χάριν τοῦ περὶ οὗ ὁ λόγος ἱεροῦ ναοῦ, ὅπου τελεῖται λαμπρὰ πανήγυρις. Τὸ αὐτόγραφον ἀρχικὸν κείμενον τῆς Ἀκολουθίας, ὡς ἐκ τῶν περιπετειῶν του, ἀσφαλῶς θὰ ἐχάνετο. Καὶ εἰς ἣν δὲ κατάστασιν εὕρομεν αὐτὸ ᾐσθάνθημεν βαθὺν πόνον καὶ ἠπορήσαμεν, πῶς δὲν εὑρέθη κανεὶς τόσον καιρὸν νὰ προφυλάξῃ ἀπὸ χεῖρας ξένας καὶ ἀπὸ τὴν ἀπώλειαν ἔργον τοιοῦτον, τοιούτου ἱεροῦ ἀνδρός, πληροῦν κενόν τι ἐν τῇ Ὑμνολογίᾳ τῆς Ἐκκλησίας. Ἐπαναλαμβάνομεν καὶ πάλιν τὴν εὐχήν, ὅπως καὶ ἐν τῇ ἐκδόσει τῆς Ἀκολουθίας τῆς ἁγίας Κυριακῆς: ἵνα θεωρηθῇ ἓν τῶν καθηκόντων τῶν ἀρχιερέων καὶ ἱεροκηρύκων ἡ συναγωγὴ τοιούτων ἱερῶν ἔργων, ὁπουδήποτε καὶ ἂν εὑρίσκωσιν αὐτά, καὶ ἡ περιφρούρησις αὐτῶν, ὡς πνευματικῶν τῆς Ἐκκλησίας θησαυρῶν.*

Τῇ κθ´ τοῦ Μαΐου μηνός, τῶν ἁγίων Μαρτύρων καὶ συνωνύμων, Θεοδοσιῶν, τῆς Τυρίας, καὶ τῆς Κωνσταντινουπολιτίσσης. Ἑσπέρας, εἰς τὸ **Κύριε ἐκέκραξα,** ἱστῶμεν στίχους στ´ καὶ ψάλλομεν στιχηρὰ προσόμοια.

**Ἦχος πλ. δ´**

*Ὢ τοῦ παραδόξου θαύματος.*

Αἴγλῃ παρθενίας λάμπουσα, Θεοδοσία σεμνή, καὶ πορφύραν δι᾿ αἵματος, μαρτυρίου πάνσοφε, βεβαμμένην λαμπρότατα, περιθεμένη καὶ ὑπερκόσμιον, Χριστοῦ νυμφῶνα κατασκηνώσασα, Κόρη πανάμωμε, συγχορεύεις τάξεσιν ἀγγελικαῖς, ὄντως ἀκατάλυτον χορείαν ἔνδοξε.

Μάρτυς Παρθένε πανεύφημε, Θεοδοσία Χριστόν, ὁλοκλήρως ποθήσασα, τῶν βασάνων ἤνεγκας, τὰς πληγὰς καρτερώτατα, αἰκιζομένη διὰ τὸν σὸν ἐραστήν, καὶ ξεομένη πλευρὰς ταῖς μάστιξιν· ὢ τῶν ἀγώνων σου, καρτερᾶς ἐνστάσεως! δι᾿ ἧς πρὸς γῆν, ὄντως καταβέβληκας, τὸν ὑπερήφανον.

Κάλλει ψυχῆς τε καὶ σώματος, κεκοσμημένη φαιδρῶς, τῷ Χριστῷ προσενήνεξαι, τὸν τῆς δόξης στέφανον, παρ᾿ αὐτοῦ ἀναδήσασθαι, Θεοδοσία Μάρτυς πανένδοξε· καὶ βασιλείας σαφῶς διάδημα, ὄντως πολύτιμον,

ἐπαξίως δέδεξαι, σῇ κορυφῇ, νύμφη παναμώμητος, φανεῖσα πάνσοφε.

**Νέα ἕτερα προσόμοια στιχηρὰ Ἦχος δ΄**
**Ἔδωκας σημείωσιν**

Πλευρῶν ταῖς κατάξεσιν, καὶ τῶν μαστῶν τὴν ἀφαίρεσιν, γενναιότατα ἤνεγκας, Οὐρβανὸν νικήσασα, καὶ τὴν τῶν εἰδώλων πολύθεον πλάνην· διὸ θαλάσσης τῷ βυθῷ ἐνακοντίζῃ καὶ Μαρτυρίου σου, τὸν δρόμον ἐκτέλεκας, καὶ πρὸς Χριστὸν τὸν νυμφίον σου, νικηφόρος ἀνέδραμες, Τύρου θρέμμα καὶ γέννημα.

Σπαθάριον ἔκτεινας, καὶ τὴν μανίαν τοῦ Λέοντος, ἐστηλίτευσας ἄριστα, τὴν θείαν προσκύνησιν, τῶν σεπτῶν εἰκόνων, κηρύξασα Μάρτυς, ἐν τῷ σταδίῳ ἀνδρικῶς· διὸ καὶ κέρατι τὸ μακάριον, σεμνὴ τέλος σου ἔλαβες· καὶ χάριν εἴληφας ἄφθονον, ἐνεργεῖν πολλὰ θαύματα, Βυζαντίδος τὸ γέννημα.

Κάλλει διαλάμπουσαι, τῆς παρθενίας πανένδοξοι, ἑαυτὰς προσηνέγκατε, Χριστῷ καλλιπάρθενοι, κατηγλαϊσμένας, θείαις ἀγλαΐαις, οἵαπερ νύμφας ἐκλεκτάς, πρὸς ἃς ὁ πάντων Δεσπότης ἔφησε· τίνες αὗται αἱ ἄμωμοι, περιστεραὶ καὶ ἀμίαντοι, δεῦτε νύμφαι εἰσέλθετε, εἰς παστάδα οὐράνιον.



**Δόξα. Ἦχος πλ. β΄.**

Σήμερον ἔαρ νοητόν, τῷ αἰσθητῷ ἔαρι ἡμῖν συνανέτειλεν, οὐχ ὑπὸ μιᾶς χελιδόνος, ἀλλ᾽ ὑπὸ δύο καλλιφώνων, τῶν συνωνύμων Θεοδοσιῶν συνιστάμενον· ἡ μὲν γὰρ πρότερον, κατὰ τῆς εἰδωλολατρείας ἀγωνισαμένη, νομίμως ἐνήθλησεν· ἡ δέ, κατὰ τῆς εἰκονομαχίας ὕστερον, τὸ ἴδιον αἷμα ἐξέχεε. Καὶ ἀμφότεραι τὸν ἕνα Χριστὸν ὁμολογήσασαι, ὡς ἀπερίγραπτον κατὰ τὴν θεότητα, καὶ ὡς περιγραπτὸν ἐν εἰκόνι κατὰ τὴν ἀνθρωπότητα, στεφάνοις τῆς νίκης κατεκοσμήθησαν· καὶ πρεσβεύουσιν ἐκτενῶς τῇ Τριάδι, ὑπὲρ τῶν πίστει τελούντων αὐτῶν τὴν πανήγυριν.

**Καὶ νῦν**

Τίς μὴ μακαρίσει σε Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτὸς ἐκ σοῦ τῆς Ἁγνῆς, προῆλθεν ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι᾽ ἡμᾶς· οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ᾽ ἐν δυάδι φύσεων ἀσυγχύτως γνωριζόμενος· αὐτὸν ἱκέτευε, σεμνὴ παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

**Εἴσοδος, τό: Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας**
**Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα**

Τάδε λέγει Κύριος· πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συν-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

αχθήσονται ἄρχοντες ἐξ αὐτῶν· τὶς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς τὶς ἀκουστὰ ποιήσει ἡμῖν; ἀγαγέτωσαν τοὺς μάρτυρας καὶ δικαιωθήτωσάν· καὶ εἰπάτωσαν ἀληθῆ· γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός, καὶ ὁ παῖς ὃν ἐξελεξάμην· ἵνα γνῶτε καὶ πιστεύσητε, καὶ συνῆτε ὅτι ἐγὼ εἰμί. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ᾽ ἐμὲ οὐκ ἔσται· ἐγὼ εἰμι Θεός, καὶ οὐκ ἔσται πάρεξ ἐμοῦ ὁ σώζων· ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα· ὠνείδισα καὶ οὐκ ἦν ἐν ἡμῖν ἀλλότριος· ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός· ἔτι ἀπ᾽ ἀρχῆς ἐγὼ εἰμι· καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος· ποιήσω καὶ τὶς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ὑμᾶς ὁ ἅγιος Ἰσραήλ.

### *Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα*

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος· Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀνθρώπων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα. Οἱ δὲ εἰσιν ἐν εἰρήνῃ· καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾽ αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμένουσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.



### *Παροιμιῶν τὸ ἀνάγνωσμα.*

Υἱέ, ἄνοιγε σὸν στόμα λόγῳ Θεοῦ, καὶ κρίνε πάντα ὑγιῶς. Ἄνοιγε σὸν στόμα, καὶ κρίνε δικαίως. Διάκρινε δὲ πένητα καὶ ἀσθενῆ. Γυναῖκα ἀνδρείαν τὶς εὑρήσει; τιμιωτέρα δὲ ἐστι λίθων πολυτελῶν ἡ τοιαύτη. Θαρσεῖ δὲ ἐπ᾽ αὐτὴν ἡ καρδία τοῦ ἀνδρὸς αὐτῆς. Ἡ τοιαύτη καλῶν σκύλων οὐκ ἀπορήσει. Ἐνεργεῖ γὰρ τῷ ἀνδρὶ εἰς ἀγαθά, καὶ οὐ κακά, πάντα τὸν χρόνον: Εὑραμένη ἔρια καὶ λίνον, ἐποίησεν εὔχρηστα ταῖς χερσὶν αὐτῆς. Ἐγένετο ὡσεὶ ναῦς ἐμπορευομένη μακρόθεν, συνάγει δὲ αὐτῆς τὸν πλοῦτον. Καὶ ἀνίσταται ἐκ νυκτῶν, καὶ ἔδωκε βρώματα τῷ οἴκῳ, καὶ ἔργα ταῖς θεραπαίναις. Θεωρήσασα γεώργιον, ἐπρίατο, ἀπὸ δὲ καρπῶν τῶν χειρῶν αὐτῆς κατεφύτευσε κτῆμα. Ἀναζωσαμένη ἰσχυρῶς τὴν ὀσφὺν αὐτῆς ἤρεισε τοὺς βραχίονας αὐτῆς εἰς ἔργον. Ἐγεύσατο ὅτι καλὸν ἐστι τὸ ἐργάζεσθαι, καὶ οὐκ ἀποσβέννυται ὁ λύχνος αὐτῆς ὅλην τὴν νύκτα. Τοὺς πήχεις αὐτῆς ἐκτείνει ἐπὶ τὰ συμφέροντα, καὶ τὰς χεῖρας αὐτῆς ἐκτείνει εἰς ἄτρακτον. Χεῖρας δὲ αὐτῆς διήνοιξε πένητι, καρπὸν δὲ ἐξέτεινε πτωχῷ. Οὐ φροντίζει τῶν ἐν οἴκῳ ὁ ἀνὴρ αὐτῆς, ὅταν που χρονίζῃ. Πάντες γὰρ οἱ παρ᾽ αὐτῇ, ἐνδεδυμένοι εἰσί. Διττὰς χλαίνας ἐποίησε τῷ ἀνδρὶ αὐτῆς, ἐκ δὲ βύσσου καὶ πορφύρας ἑαυτῇ ἐνδύματα. Περίβλεπτος δὲ γίνεται ὁ ἀνὴρ αὐτῆς ἐν πύλαις, ἡνίκα ἂν καθίσῃ ἐν συνεδρίῳ μετὰ τῶν πρεσβυτέρων, καὶ κατοίκων τῆς γῆς. Σινδόνας ἐποίησε καὶ ἀπέδοτο τοῖς Φοίνιξι, καὶ περιζώματα τοῖς Χαναναίοις. Ἰσχὺν καὶ εὐπρέπειαν ἐνεδύσατο, καὶ εὐφράνθη ἐν ἡμέραις ἐσχάταις. Στόμα δὲ αὐτῆς διήνοιξε προσεχόντως, καὶ ἐννόμως, καὶ τάξιν ἐστείλατο τῇ γλώσσῃ αὐτῆς. Στεναὶ διατριβαὶ οἴκων αὐτῆς, σῖτα δὲ ὀκνηρὰ οὐκ ἔφαγεν. Ἀνέστησε τὰ τέκνα αὐτῆς, καὶ ἐπλούτησαν, καὶ ὁ ἀνὴρ αὐτῆς ᾔνεσεν αὐτήν. Πολλαὶ θυγατέρες ἐποίησαν δύναμιν, πολλαὶ ἐκτήσαντο πλοῦτον; σὺ δὲ ὑπέρκεισαι, καὶ ὑπερῆρας πάσας. Ψευδεῖς ἀρέσκειαι, καὶ μάταιον κάλλος γυναικός, οὐκ ἔστιν ἐν σοί. Γυνὴ

γὰρ συνετὴ εὐλογεῖται, φόβον δὲ Κυρίου αὕτη αἰνείτω. Δότε αὐτῇ ἀπὸ καρπῶν χειλέων αὐτῆς, καὶ αἰνείσθω ἐν πύλαις ὁ ἀνὴρ αὐτῆς.

***Νέα. Εἰς τὴν Λιτήν. Ἦχος α΄.***

Σήμερον ἡ προφητόφθεγκτος φωνὴ τοῦ Δαυΐδ, ἐπὶ σοὶ ὡς ἀληθῶς τὸ πέρας ἐδέξατο, Θεοδοσία ἀοίδιμε. Οὐ μόνον γὰρ διὰ πυρὸς τῶν κολάσεων διῆλθες, ἀλλὰ καὶ δι' ὕδατος τὸ μακάριον τέλος ἔλαβες. Ὅθεν καὶ πρὸς αἰώνιον ἀναψυχὴν ἀνελήλυθας, ἀντάξια τῶν πόνων σου, οἰκήσασα τὰ ἄνω βασίλεια, καὶ πρεσβεύουσα ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

***Ἦχος β΄.***

Θεῖον ἔρωτα λαβοῦσα ἐν τῇ καρδίᾳ, ἔτι νηπιάζουσα, πρὸς τοὺς ἀσκητικοὺς ἀγῶνας ἐχώρησας καὶ τὴν κατὰ τῶν παθῶν νίκην, ἐνδόξως ἦρας ὁσιομάρτυς Θεοδοσία. Ὕστερον δέ, καὶ τὴν κατὰ τῶν ἁγίων εἰκόνων μανίαν, τοῦ θηριωνύμου Λέοντος γενναίως ἐλέγξασα, τὸ μακάριον τέλος ἐδέξω· καὶ νίκης διπλῷ στέφει κατεκοσμήθης, καὶ τὴν τῶν θαυμάτων εἴληφας χάριν, παρὰ Χριστοῦ τοῦ Θεοῦ, καὶ Σωτῆρος τῶν ψυχῶν ἡμῶν.

***Ἦχος γ΄.***

Τὴν ἐτήσιον μνήμην σήμερον, τῶν συνωνύμων Θεοδοσιῶν, μελῳδικῶς εὐφημήσωμεν. Αὗται γὰρ παρθενίαν ἄσπιλον κτησάμεναι, καὶ τὸ ἴδιον αἷμα ὑπὲρ Χριστοῦ ἐκχέασαι, τοῦ οὐρανίου νυμφῶνος κατηξιώθησαν. Καὶ νῦν τῷ νυμφίῳ Χριστῷ συναγαλλόμεναι, πρεσβεύουσιν ὑπὲρ τῶν ψυχῶν ἡμῶν.



***Δόξα. Ἦχος δ΄.***

Δεῦτε φιλομαρτύρων συστήματα, πνευματικὴν χορείαν στησάμενοι, ᾀσματικοῖς ἐγκωμίοις ἐπαινέσωμεν, τὰς παρθενομάρτυρας τοῦ Χριστοῦ Θεοδοσίας. Αὗται γὰρ τὸν ἀντίπαλον ἐχθρὸν ἀνδρικῶς κατεπολέμησαν. Χαίρετε βοῶντες πρὸς αὐτάς, καλλιπάρθενοι νύμφαι Θεοδοσίαι, τοῦ οὐρανίου βασιλέως, χρυσακηράτοις ἀμφίοις ταῖς ἀρεταῖς ὡραϊσμέναι. Χαίρετε κρίνα παραδείσου, τῶν μαρτύρων ἁλουργόχροα, τοῖς ὀρθοδόξοις ἀποπνέοντα εὐωδίαν, λυτήριον παντοίων νόσων. Πορφύραν γὰρ ἐξ αἵματος, περιθέμεναι, ἀνεδράμετε πρὸς ὃν ἐποθήσατε βασιλέα ὑμῶν καὶ κτίστην, ὑπὲρ οὗ ἀνδρειοφρόνως ἐνηθλήσατε. Καὶ νῦν τῇ τρισηλίῳ παριστάμεναι Τριάδι, μὴ παύσητε πρεσβεύουσαι ὑπὲρ ἡμῶν, τῶν ἐν πίστει ἐκτελούντων τὴν μνήμην ὑμῶν.

***Καὶ νῦν,*** τῆς ἑορτῆς ἢ τὸ παρόν·
Ἐκ παντοίων κινδύνων τοὺς δούλους.

***Ἀπόστιχα***

***Χαίροις ἀσκητικῶν ἀληθῶς. Νέα,***

Χαίροις, Θεοδοσία σεμνή, Τυρίων μέγα, καὶ σεμνὸν ἐγκαλλώπισμα, καὶ πάσης τῆς οἰκουμένης, σθένος καὶ κλέος λαμπρόν, τῶν πιστῶν ἁπάντων τὸ διάσωσμα· ἡ τέλος μακάριον δεξαμένη ἐν ὕδασιν· ἡ τὴν ἀπάτην τῶν εἰδώλων βυθίσασα· ἡ εὐφραίνουσα, Θεοῦ δόσις τοὺς ἅπαντας· ἄμπελος ἡ κυπρίζουσα· ἐλαία ἡ πάγκαρπος· ἡ στερρὰ κέδρος Λιβάνου· ἡ πανευώδης κυπάρισσος. Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

*Στιχ. Ὑπομένων ὑπέμεινα*

Χαίροις Θεοδοσία σεμνή, βασιλευούσης, τὸ γλυκύτατον βλάστημα, καὶ ὅλης τῆς Ἐκκλησίας, καύχημα ὄντως τερπνόν, μοναζουσῶν δόξα καὶ ἀγλάϊσμα· εἰκόνων προσκύνησιν, σχετικὴν ἡ κηρύξασα, καὶ ὑπὲρ τούτων, φυλακὰς δεσμωτήρια, καὶ πολύτροπα, ὑπομείνασα βάσανα· δάμαλις ἡ ἀμόλυντος, ἀμνὰς πανακήρατος, ἡ τὸ σὸν αἷμα προθύμως, ὑπὲρ Χριστοῦ ἐκκενώσασα, αὐτὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

*Στίχ. Καὶ ἔστησεν ἐπ.*

Χαίροις ἀθλητριῶν ἡ δυάς, σεμνῶν παρθένων περιβόητον ἄκουσμα· τὸ θεῖον, γυναικῶν εὖχος, Δορκάδες ὄντως Χριστοῦ, ἀρετῶν ἐν κρίνοις αἱ νεμόμεναι· ταχύδρομοι ἔλαφοι, μαρτυρίου ποτήριον, πιεῖν διψῶσαι, αἱ τρυγόνες αἱ φίλαγνοι· αἱ ἡδύφωνοι, ἀηδόνες τοῦ ἔαρος· ἄνθη τὰ εὐωδέστατα· πιστῶν ῥόδα εὔοσμα, Θεοδοσίαι Κυρίου, αἱ καρτερόψυχοι μάρτυρες· αὐτὸν δυσωπεῖτε, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

*Δόξα, Ἦχος πλ. δ΄.*

Τὸν ἄμετρα καυχησάμενον, ὡς νοσσιὰν θεῖναι, τὴν οἰκουμένην ἔρημον· τὸ ὑπερήφανον ὄρος· τὸν ἀρχέκακον δράκοντα, ὥσπερ στρουθίον παιζόμενον, ὑπὸ τοὺς ὑμῶν ὡραίους πόδας ἀρρενωπῶς κατεπατήσατε, καὶ Χριστὸν



τὸν Θεὸν ἐν μέσῳ τοῦ σταδίου ἀνδρειοφρόνως ἐκηρύξατε, Θεοδοσίαι πάνσοφοι. Βαβαὶ τῆς καρτερίας! Βαβαὶ τῶν μεγαλείων! καθυστεροῦντα γὰρ τὰ ὑμῶν καθορᾶται τῆς ἀρρενόφρονος Ἰουδίθ· οὐκ Ὀλοφέρνην γὰρ ἐκτείνατε ἀλλ' αὐτὸν τὸν τὴν Εὔαν πτερνίσαντα. Ὅθεν σταζόμεναι τῷ λύθρῳ τῶν ὑμετέρων αἱμάτων, καὶ πρὸς αὐτὸ τὸ ἀκρότατον, τῶν ἐφετῶν φθάσασαι, μὴ διαλύπητε πρεσβεύουσαι ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

***Καὶ νῦν,*** τῆς ἑορτῆς· ἢ τὸ παρόν·
Δέσποινα πρόσδεξαι.

## ΑΠΟΛΥΤΙΚΙΟΝ

*Πρῶτον τὸ*

***Ἡ ἀμνάς σου Ἰησοῦ.***

***Εἶτα τὸ παρόν, ἦχος δ΄.***

Τὴν ἀρετὴν ἐπιμελῶς μάρτυς ἀσκήσασα, Χριστοῦ δοχεῖον γέγονας σεπτὸν τῷ θείῳ Πνεύματι· ὅθεν ᾔσχυνας ἐχθρὸν πολεμοῦντα τὸ γένος τῶν βροτῶν, καλῶς ἀθλήσασα, καὶ κτείνασα σαφῶς τὸν Κοπρώνυμον, Θεοδοσία πίστεως τῷ ξίφει· καὶ πρὸς οὐρανόν, μετέβης χαίρουσα, πίστει τοῖς σὲ τιμῶσιν αἰεὶ αἰτουμένη τὸ μέγα ἔλεος.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΑΓΓΕΛΙΚΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

*Μετὰ τὴν Α΄ Στιχολογίαν*

**Κάθισμα. Ἦχος α΄**

**Τὸν τάφον σου Σωτὴρ.**

Ἀνδρείως τὸν Χριστόν, ἀνεκήρυξας μάρτυς, καὶ αἷμά σου σεπτόν, δι' αὐτὸν ἐν σταδίῳ, ἐξέχεας πανένδοξε, τῶν τυράννων ὠμότητα, τὸν ἀπάνθρωπον, μὴ πτοηθεῖσα οὐδόλως· Τύρου καύχημα, καὶ οἰκουμένης ἁπάσης, σεμνὸν ἐγκαλλώπισμα.

**Καὶ νῦν, τῆς ἑορτῆς· ἢ τὸ παρόν:**

Παρθένε Μαριάμ, χρυσοπόρφυρε νύμφη, ἁγνὴ περιστερά, τιμαλφέστατε θρόνε· παστὰς ἡλιοστάλακτε· καὶ σκηνὴ θεοκόσμητε, ἡ κοσμήσασα, τὴν ἀκοσμίαν τοῦ κόσμου, τὴν τοῖς πάθεσι, καταφθαρεῖσαν τοῦ βίου, ψυχήν μου νῦν κόσμησον.

*Μετὰ τὴν Β΄ Στιχολογίαν*

**Κάθισμα**

πρὸς **Κατεπλάγη Ἰωσήφ.**

Τὴν ἀμνάδα τοῦ Χριστοῦ· καὶ λογικὴν περιστεράν· τὴν λαμπάδα τὴν φαιδράν, τῆς παρθενίας νοεράν, Θεοδοσίαν τὴν μάρτυρα βασιλίδος, τὸν γόνον τὸν λαμπρὸν εὐφημήσωμεν, Εἰκόνων τῶν σεπτῶν τὴν προσκύνησιν, ὅτι τρανῶς ἐκήρυξε τοῖς πᾶσι, καὶ τὸ οἰκεῖον ἐξέχεε, αἷμα καὶ χάριν, τῶν ἰαμάτων πρὸς Χριστὸν ἐκομίσατο.



**Δόξα,** τὸ αὐτό.

**Καὶ νῦν,** τῆς ἑορτῆς· ἢ τὸ παρόν:

Τὸ μυστήριον ἁγνὴ τῆς σῆς λοχείας τὸ φρικτόν, οἱ Προφῆται τοῦ Θεοῦ, πόρρωθεν βλέποντες σαφῶς, προφητικοῖς ὀφθαλμοῖς ἀνεκήρυττον, σὲ ῥάβδον Ἀαρών τε καὶ τράπεζαν· καὶ ὄρος νοητόν τε καὶ κλίμακα· καὶ θυγατέρα κράζουσι τοῦ βασιλέως· καὶ κιβωτὸν ἁγιάσματος, καὶ πύλην ἄλλος, σὲ ὀνομάζει καὶ σκηνὴν θεοκόσμητον.

*Μετὰ τὸν Πολυέλεον*

**Κάθισμα**

**Ἐπεφάνης σήμερον**

Τῆς σαρκὸς ἐπίπονα, πάθη ἀνδρείως, ὦ σεμναὶ ἠνέγκατε, Θεοδοσία τὸν Χριστόν, ἐνδυναμοῦντα εἴχετε γάρ· παρ' οὗ καὶ στέφος τῆς νίκης ἐδέξασθε.

**Δόξα,** τὸ αὐτό.

**Καὶ νῦν,** τῆς ἑορτῆς· ἢ τὸ παρόν:

Προστασία ἄμαχος, τῶν ἐν ἀνάγκαις, σὺ ὑπάρχεις Δέσποινα· χειμαζομένων τε λιμήν· ποντουμένον τε κυβέρνησον, ἡ κυβερνήτην τοῦ κόσμου κυήσασα.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

**Τὸ ἀντίφωνον τοῦ δ' ἤχου.**

***Προκείμενον***: Ὑπομένων ὑπέμεινα τὸν Κύριον.

***Στιχ.*** Καὶ ἔστησεν ἐπὶ πέτραν.

Πᾶσα πνοή. Εὐαγγέλιον, ζήτει τῆς Χαναναίας. Δόξα: ταῖς τῆς ἀθλοφόρου, Καὶ νῦν ταῖς τῆς Θεοτόκου.

Ἐλεῆμον ἐλέησόν με, ἦχος πλ. β'.

Τῷ θρόνῳ τῆς μεγαλωσύνης, παριστάμεναι Θεοδοσίαι σεμναί, καὶ ὡς βασίλισσαι πεποικιλμέναι, τῷ ὑμετέρῳ νυμφίῳ Χριστῷ συνδιαιωνίζουσαι, αἰτήσασθε δωρηθῆναι ἡμῖν, τοῖς τιμῶσιν ὑμᾶς τὸ μέγα ἔλεος.

Ὁ παρακλητικὸς Κανὼν τῆς Θεοτόκου, ἢ τῆς ἑορτῆς, εἰ τύχοι, εἰς ς'.

Καὶ ὁ Κανὼν ὁ παλαιὸς τῆς ἁγίας, εἰς η' σὺ ἡ ἀκροστιχίς: «Θεοδοσίας τῆς μάρτυρος μέλπω κλέος».

**Ὠδὴ α'. Ἦχος δ'**

**Θαλάσσης τὸ ἐρυθραῖον**

Θεός σοι Θεοδοσία γέγονεν, ὁδὸς ἀθλήσεως, ἐπὶ σταυρὸν ἑκούσιον ἐλθών· καθελὼν γάρ τὸν τύραννον, ὥσπερ στρουθίον παίζεσθαι, ὑπὸ μαρτύρων ἀπειργάσατο.

Εὐτόνως Θεοδοσία πάντιμε, πρὸς γῆν κατέρραξας, τὸν ἀρχηγὸν τῆς πλάνης καρτερῶς, ἐναθλοῦσα πανεύφημε, καὶ τὸν τῆς νίκης στέφανον, ὡς νικηφόρος μάρτυς εἴληφας.

Ὁ πάλαι μεγαλαυχίᾳ χρώμενος, νῦν καταβέβληται, σῇ καρτερίᾳ Μάρτυς προσβαλών· τοῦ σταυροῦ γὰρ τὴν δύναμιν, ἀναλαβοῦσα ᾔσχυνας, ἄμετρα τοῦτον φρυαττόμενον.



***Θεοτοκίον***

Δολίως ἐξαπατήσας ὄφις με, εἶλεν αἰχμάλωτον, τοῦ θεωθῆναι πόθον μοι ἐνθείς· διὰ σοῦ δὲ Πανάχραντε, ἀνακληθεὶς τεθέωμαι, ἀναλλοιώτως ἀληθέστατα.

***Καταβασίαι τῆς ἑορτῆς, εἰ τύχει, εἰδ' οὔ, Ἀνοίξω τὸ στόμα μου.***

***Ὠδὴ γ'. Εὐφραίνεται ἐπὶ σοί.***

Ὁ πόθος ὁ θεϊκός, Θεοδοσία σὲ πιστὴν ἔδειξε, νύμφην Χριστοῦ Μάρτυρα, τούτου τὸν σταυρὸν ἀγαπήσασαν

Σαρκὸς τὴν φθοροποιόν, καταλιποῦσα ὦ σεμνὴ πρόνοιαν, ζωοποιῷ Πνεύματι, ζῇς Θεοδοσία πανεύφημε.

Ἰάτρευσόν μου τὸν νοῦν, Θεοδωρήτῳ σου σεπτῇ χάριτι[1] καὶ τὴν ψυχὴν πάθεσιν, ἐκνενευριομένην[2]) θεράπευσον.

***Θεοτοκίον***

Ἀνέστησας ὦ σεμνή, τὴν πεπτωκυίαν μου μορφὴν τέξασα, τὸν ἀρχηγὸν Δέσποινα, τῆς πάντων ἡμῶν ἀναστάσεως.

***Κάθισμα. Ἦχος δ'. Ταχὺ προκατάλαβε***

Θεοῦ δόσις πέλετε, ὦ γυναικῶν καλλοναί, ἀθλήσει ἐκλάμ-

---

[1]) Ἐν τῷ ἐν χρήσει Μηναίῳ τῆς Ἐκκλησίας, τὸ ἐκδοθέντι ὑπὸ Βαρθολομαίου τοῦ Κουτλουμουσιανοῦ (ἔκδ. ἕκτη, Βενετία 1895) ὑπάρχει ἡ γραφὴ «Σεπτή».

[2]) Ἐν τῷ αὐτῷ Μηναίῳ ὑπάρχει ἡ ἐσφαλμένη γραφὴ «ἐκνενευρισμένη».

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

πουσαι καὶ παρθενίας φαιδρᾶς, ἀκτῖσι πυρσεύουσαι, πάντων τὰς διανοίας, τῶν ὑμᾶς εὐφημούντων, πίστει Θεοδοσίαι καὶ ἡμῶν τὴν αἰσίαν, τελούντων ἐπὶ γῆς ἑορτὴν θεομακάριστοι.

***Δόξα,*** τὸ αὐτό.

***Καὶ νῦν,*** τῆς ἑορτῆς ἢ τὸ παρόν:

Παρθένε πανάμωμε, ἡ τὸν Θεὸν τοῦ παντός, τεκοῦσα διάλυσον, τὰς περιστάσεις ἡμῶν· καὶ πάσης διάσωσον, θλίψεως καὶ ἀνάγκης, τοὺς εἰς σὲ πεποιθότας· πράϋνον τρικυμίας, καὶ εἰρήνην παράσχου, παρθενομῆτορ Μαριάμ, ὡς κόσμου βοήθεια.

***Ὠδὴ δ'***

***Ἐπαρθέντα σε ἰδοῦσα ἡ Ἐκκλησία.***

Σεσοβημένος ὁ τύραννος ταῖς αἰκίαις, καταπτοεῖν τὸ εὔτονον, τῆς σῆς καρτερίας, ᾤετο ὁ δόλιος· αὐτὴ δὲ Πανεύφημε, δόξα τῷ Θεῷ ἀνεκραύγαζες.

Τὴν θεόσδοτον καὶ θείαν προσηγορίαν, προγνωστικῶς ἐπλούτησας, Μάρτυς ἀθλοφόρε [1]· δόσις γὰρ ἐγένου Θεῷ, ἡμᾶς κατευφραίνουσα, πίστει σε καὶ πόθῳ γεραίροντας.

Ἠγλαϊσμένη [2]) θεόφρον Θεοδοσία, Μαρτυρικοῦ δι' αἵματος, σοῦ πεφοινιγμένην, περιβεβλημένη στολήν, δραμοῦμαι ὀπίσω σου, πόθῳ τοῦ νυμφίου σου [3]) ἔκραζες.

---

[1]) Ἐν τῷ Μηναίῳ εὕρηται ἡ γραφὴ «ἀθληφόρε».
[2]) Ἐν τῷ Μηναίῳ ἡ γραφὴ «ἠγλαϊσμένην».
[3]) Ἐν τῷ Μηναίῳ ἡ ἐσφαλμένη γραφὴ «πόθῳ τοῦ νυμφίου μου».



***Θεοτοκίον***

Σεσαρκωμένον τὸν Λόγον ἁγνὴ Παρθένε, θεοπρεπῶς ἐγέννησας, καὶ μένεις παρθένος· ὅθεν ἀσιγήτοις φωναῖς, τὸ χαῖρέ σοι Δέσποινα, πίστει ἀδιστάκτῳ κραυγάζομεν.

***Ὠδὴ ε'***

***Σὺ Κύριέ μου φῶς***

Μύρον ἐκκενωθέν, τὸν Χριστὸν ἀγαπήσασαι, νεάνιδες θεοφρόνως, ἠκολούθησαν τοῦτον [1]) ἐν ᾄσμασι δοξάζουσαι.

Αἰώνιον ζωήν, χρονικῆς ἀνταλλάξασα, ἀνθ' αἵματος βραχυτάτου, οὐρανῶν βασιλείαν, ἡ μάρτυς ἐκληρώσατο.

Ῥέουσιν ὡς πηγαί, τῶν Μαρτύρων τὰ λείψανα, ἰάματα τοῖς νοσοῦσι, καὶ ψυχῶν ἀρρωστίας, τῇ πίστει θεραπεύουσιν.

***Θεοτοκίον***

Τίς δύναται τὸ σόν, ἑρμηνεῦσαι μυστήριον, Πανάμωμε; τὸν γὰρ Κτίστην, μὴ χωρούμενον πᾶσιν, ἐν μήτρᾳ σου ἐχώρησας.

***Ὠδὴ στ'***

***Θύσω σοι μετὰ φωνῆς***

Ὑπὲρ σοῦ μετὰ σπουδῆς, τὸν θάνατον εἵλετο, Θεοδοσία ἡ μάρτυς, ἀπειλὰς τυράννων μὴ πτοηθεῖσα, τὸ σὸν πάθος, μιμουμένη Χριστὲ τὸ ἑκούσιον.

---

[1]) Τὸ Μηναῖον ἔχει τὴν συντακτικῶς ὀρθὴν γραφὴν «τούτῳ»

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Ῥαδίως, τῷ σταυρῷ σου γυναῖκες ῥωννύμεναι, τὰς κεφαλὰς τῶν δρακόντων, ὥσπερ ἔφης Σῶτερ καταπατοῦσι, τῷ σῷ πόθῳ, τετρωμέναι καὶ θείῳ σου ἔρωτι.

***Θεοτοκίον***

Ὅλην σε, περιστερὰν τελείαν καὶ ἄμωμον, καὶ τηλαυγέστατον κρῖνον καὶ κοιλάδων ἄνθος ὦ θεομῆτορ, ὁ νυμφίος, ὁ νοητὸς ἐν σοὶ κατεσκήνωσεν.[1])

***Κοντάκιον τῆς Ἁγ. Θεοδοσίας τῆς Τυρίας***

***Ἐπεφάνης σήμερον***

Τῶν Ἑλλήνων ἤλεγξας πολυθεΐαν, καὶ Χριστὸν ἐκήρυξας πάσης τῆς κτίσεως Θεόν, Θεοδοσία πολύαθλε, Τυρίων δόξα, ἡμῶν δὲ διάσωσμα.

***Ἕτερον Κοντάκιον Θεοδοσίας τῆς ἐν Κωνσταντινουπόλει***

***Ἦχος β' Τὰ ἄνω ζητῶν***

Τοῖς πόνοις ζωήν, τὴν ἄπονον κεκλήρωσαι· τοῖς αἵμασι δέ, Κοπρώνυμον[2]) ἀπέπνιξας, τὸν ἐχθρὸν τὸν βέβηλον, τῆς Ἐκκλησίας Χριστοῦ πανεύφημε· καὶ σὺν ταῖς ἄνω χαίροις στρατιαῖς, τοὺς ἐκτελοῦντας τὴν μνήμην σου σκέπουσα[3]).

---

[1]) Τὸ Μηναῖον ἔχει: «ὁ νοητὸς εὑρὼν σοὶ ἐσκήνωσεν».
[2]) Ἐν τῷ Μηναίῳ, ἀντὶ Κοπρώνυμον εὕρηται ἡ γραφὴ «τὸν Λέοντα».
[3]) Τὸ Μηναῖον ἔχει ἀντὶ τοῦ καὶ «σὺν ταῖς ἄνω χαίροις στρατιαῖς κλπ»: «καὶ αὐτῷ συγχορεύουσα νῦν, δυσώπει ἀπαύστως ὑπὲρ πάντων ἡμῶν».



***Ὁ οἶκος***

Τίς μὴ ἐκπλαγῇ σου τοὺς ἀγῶνας, ὦ μάρτυς; ἢ τίς ἐξείπῃ τοὺς ἄθλους, οὓς ὑπέμεινας ὑπὲρ τῆς εὐσεβείας; φύσις γὰρ εὐόλισθος οὖσα καὶ αὐτεπείνωτος, τὸ χαῦνον τοῦ θήλεος ἀπωσαμένη, ἀνδρικῶς τὸν νοητὸν ἐχθρὸν καταβέβληκας, ἐναντίον βασιλέων λαλοῦσα, τὴν τῆς σεπτῆς Χριστοῦ εἰκόνος προσκύνησιν. Ὅθεν τρόπαια νίκης ἀραμένη καὶ ταῖς φρονίμοις συγχορεύουσα παρθένοις, μὴ διαλίπῃς ὦ σεμνή, τοὺς ἐκτελοῦντας τὴν μνήμην σου σκέπουσα.

***Τῷ αὐτῷ Μηνί, κθ'***

Τῆς ἁγίας Μάρτυρος Θεοδοσίας τῆς παρθένου τῆς ἐν Καισαρείᾳ.

Πνίγει θαλάσσης Θεοδοσίαν ὕδωρ·
Τρέφει δὲ Χριστὸς εἰς ἀναψυχῆς ὕδωρ.
Εἰκάδι ἠδ' ἐνάτῃ Θεοδοσίην πόντος ἔμαρψεν.[1])

[Αὕτη ἡ ἱερὰ καὶ ἁγία κόρη Τυρία ἦν τὸ γένος. Ὀκτωκαιδέκατον δὲ ἄγουσα τῆς ἡλικίας ἔτος, συλλαμβάνεται ὑπὸ τῶν εἰδωλολατρῶν, καὶ δεσμεῖται, μέλλουσα δίκας διδόναι, ὡς ὁμολογοῦσα τὸν Θεόν. Ἄρτι γὰρ προκαθεζομένων τῶν δικαστῶν, ἤχθη Οὐρβανῷ τῷ ἄρχοντι. Ὁ δὲ θύειν τοῖς εἰδώλοις αὐτῇ προστάττει. Ἐπεὶ δὲ οὐκ ἐπείσθη, δεινὰς κατὰ τῶν πλευρῶν

---

[1]) Γραφὴ τοῦ Μηναίου «Εἰκάδι Θεοδοσίην ἐνάτῃ πάφνε ῥεῦμα θαλάσσης».

καὶ κατὰ τῶν μαζῶν ἐπιθεὶς αὐτῇ βασάνους, μέχρις ὀστέων αὐτῶν τε ἤδη καὶ τῶν ἔσω σπλάγχνων ὁ ἀνήλεως ἐχώρει, ἐπιμόνως τὴν παῖδα ὁρῶν τιμωρουμένην, καὶ σιγῇ τὰς βασάνους δεχομένην· ἔτι δὲ αὐτὴν ἐμπνέουσαν ἠρώτα, θύειν παρακελευόμενος. Ἡ δὲ διάρασα τὸ στόμα, καὶ τοῖς ὀφθαλμοῖς ἀτενίσασα, ἐπιμειδιῶντι τῷ προσώπῳ· «Τί δὴ πλανᾶσαι», φησίν, «ἄνθρωπε; οὐκ οἶδας, ὅτι τῆς τοῦ Θεοῦ μαρτύρων κοινωνίας τυχεῖν ἠξιώθην»; Ὁ δὲ ἐπεὶ συνοῖδεν ἑαυτὸν γελώμενον ὑπὸ τῆς κόρης μείζοσιν ἢ πρῶτον αἰκίζεται ταῖς βασάνοις. Εἶθ' οὕτω τοῖς θαλαττίοις ἀκοντίζει ῥεύμασιν, ἐν οἷς τὸ μακάριον τέλος ἐδέξατο.[1]]

Τῇ αὐτῇ ἡμέρᾳ, τῆς ἁγίας ὁσιομάρτυρος Θεοδοσίας τῆς Κωνσταντινουπολιτίσσης.

Κέρας κριοῦ κτεινάν σε, Θεοδοσία.
Ὤφθη νέον σοι τῆς ἀμαλθείας κέρας.

[Ἡ ὁσιομάρτυς τοῦ Χριστοῦ Θεοδοσία, ἡ Κωνσταντινουπολίτισσα, κατήγετο ἀπὸ γονεῖς περιβοήτους εἰς τὴν εὐσέβειαν, πλουσίους κατὰ πολύ. Ὅθεν καὶ ἡ ἁγία ἀπὸ μικρᾶς ἡλικίας ἐπαιδεύθη ἐν εὐσεβείᾳ καὶ ἐν πάσῃ ἀρετῇ. Εἰς ἡλικίαν ἑπτὰ ἐτῶν ἐστερήθη τὸν πατέρα της· ἡ μήτηρ της τὴν ἔκαμε καλογραίαν εἰς Μοναστήριόν τι τῆς Κωνσταντινουπόλεως. Δὲν παρῆλθε πολὺς καιρὸς καὶ ἀπέθανε καὶ ἡ μήτηρ της. Ἡ δὲ Θεοδοσία τότε ἐμοίρασεν ὅλα της τὰ πλούτη εἰς τοὺς πτωχούς. Κατὰ τὴν ἐποχὴν τῆς αἱρέσεως τῶν εἰκονομάχων ἡ ἁγία Θεοδοσία ἦτο Ἡγουμένη τοῦ Μοναστηρίου της. Βλέπουσα ἡ ἁγία τὸν διωγμὸν κατὰ τῶν ἱερῶν Εἰκόνων καὶ αὐτὴ ἡ ἰδία ὑπερεμάχει τῆς ὀρθοδόξου πίστεως ὡς πρὸς τὸν σεβασμὸν τῶν ἱερῶν Εἰκόνων, καὶ τὰς ἄλλας καλογραίας ἐνεθάρρυνεν εἰς τοῦτο. Κάποτε ὁ σπαθάριος τοῦ εἰκονομάχου βασιλέως Λέοντος τοῦ Ἰσαύρου, ὁ ὁποῖος ἦτο ὁ ἀρχηγὸς τῆς αἱρέσεως, ἀνέβη εἰς κλίμακα ἵνα καταρρίψῃ τὴν περίφημον εἰκόνα Χριστοῦ τοῦ Ἀντιφωνητοῦ, ἀνηρτημένην εἰς τὴν Χαλκῆν Πύλην. Ἡ ἁγία Θεοδοσία, ἀφοῦ παρέλαβε μεθ' ἑαυτῆς καὶ ἄλλας μοναχάς, ἀφήρεσαν ἀτρόμητοι τὴν κλίμακα καὶ ὁ ὑβριστὴς τῶν ἱερῶν Εἰκόνων, καταπεσών, ἐφονεύθη. Τὸ ἱερὸν τοῦτο ἀνδραγάθημα ἔφερεν αὐτὰς καὶ εἰς τὸ Μαρτύριον. Αἱ μοναχαὶ ἀπεκεφαλίσθησαν ἀμέσως. Ἡ δὲ ἁγία Θεοδοσία ὑποστᾶσα δεινὰ βασανιστήρια ἐπνίγη μὲ ἓν κέρατον κριοῦ τὸ ὁποῖον τῆς ἔχωσαν εἰς τὸ στόμα της.[1])]

[1]) Τὴν βιογραφικὴν ταύτην σημείωσιν παραλαμβάνομεν ἐκ τοῦ Μηναίου. Ε. Ι. Κ.



Τῇ αὐτῇ ἡμέρᾳ, τοῦ ἁγίου μάρτυρος Ὀλβιανοῦ ἐπισκόπου πόλεως Ἀνέω.[2])

Τὸν Ὀλβιανὸν μάλα ὄλβιον λέγω,
Ὑπὲρ Θεοῦ θανόντα τοῦ πανολβίου.

[Ὃς ἦν ἐπὶ τῆς βασιλείας Μαξιμιανοῦ, ἐν ὑπατείᾳ Ἀλεξάνδρου καὶ Μαξίμου, καὶ ἤχθη ἐπὶ Ἰουλίου καὶ Αἰλιανοῦ, ἡγεμόνων τῆς Ἀσίας. Ὑπὸ τούτων δὲ ἐρωτώμενος καὶ μὴ πειθόμενος θῦσαι, γυμνοῦται τῶν ἱματίων, καὶ ὀβελίσκοις πεπυρακτωμένοις τὰ σπλάγχνα διαπείρεται, καὶ κατακαίεται, εἶτα φρουρεῖται· καὶ εἰς δευτέραν ἐρώτησιν ἀχθείς, καὶ μὴ ἐνδούς, γυμνοῦται, καὶ τὰς σάρκας ξέεται σφοδρῶς. Πυρᾶς δὲ ἐξαφθείσης μεγίστης, καὶ εἰς ὕψος ἀρθείσης ἐπὶ πολύ, ἐν αὐτῇ ἀκοντίζεται, καὶ ἐν αὐτῇ τὸ πνεῦμα τῷ Θεῷ παρατίθεται.]

Ταῖς αὐτῶν αγίαις πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς.

*Ὠδὴ ζ΄. Ἐν τῇ καμίνῳ.*

**Σὲ** θεοδότοις, κεκοσμημένην Μάρτυς κάλλεσι, πίστει θεωροῦντες, ὕμνοις εἰλικρινῶς, τῷ νυμφίῳ σου κραυγάζομεν· εὐ-

[1]) Τὰς βιογραφικὰς ταύτας σημειώσεις ἠρανίσθην ἐκ τοῦ ἐκτενεστέρου βίου τῆς Ἁγίας, τοῦ συγγραφέντος μὲν ὑπ' αὐτοῦ τούτου τοῦ ἐν ὁσίοις Νικοδήμου, ἐκδοθέντος δὲ παρ' ἡμῶν πρὸ ἡμερῶν. Ε.Ι.Κ.
[2]) Ἐν τῷ Μηναίῳ «Ἀνέου».

λογημένος εἶ ἐν τῷ ναῷ τῆς δόξης σου Κύριε.

Μετὰ παρθένων, λαμπαδηφόρος εἰς οὐράνιον, Μάρτυς νῦν παστάδα χαίρουσα τῷ Χριστῷ, εἰσελήλυθας κραυγάζουσα· εὐλογημένος εἶ ἐν τῷ ναῷ τῆς δόξης σου Κύριε.

***Θεοτοκίον***

Ἐπὶ τοῦ θρόνου τοῦ ἐπηρμένου ὁ καθήμενος, θρόνον ἐπὶ γῆς Παρθένε θεοπρεπῆ, εὑρηκώς σε ἀνεπαύσατο· εὐλογημένη σὺ ἐν γυναιξὶν ὑπάρχεις πανάμωμε Δέσποινα.[1]

***Ὠδὴ η΄. Χεῖρας ἐκπετάσας Δανιήλ.***

Λυθεῖσα δεσμῶν τῶν τῆς σαρκός, Θεοδοσία σεμνή, ἀνέπτης χαίρουσα πρὸς φωτεινόμορφον θάλαμον, νυμφικῶς περιχορεύουσα, καὶ μαρτυρίου φοινικῷ αἵματι στίλβουσα, καὶ βοῶσα· πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Παστάδα οὐράνιον οἰκεῖν, κατηξιώθης φαιδρῶς, Θεοδοσία σεμνή, διαιωνίζουσαν εὔκλειαν, εὑραμένη παναοίδιμε, καὶ τῆς ἀνδρείας σου καρπὸν ὄντως πλουτήσασα, εὐλογεῖτε, πάντα τὰ ἔργα βοῶσα τὸν Κύριον.

Ὡράθης φερώνυμος σαφῶς, Θεοδοσία σεμνή, Θεοῦ γὰρ δόσις ἡμῖν, ἀρίστη δέδοσαι πάνσοφε, δωρεῶν τῶν ὑπὲρ ἔννοιαν, ἀναδιδοῦσα ποταμοὺς τοῖς πίστει μέλπουσιν· εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

---

[1]) Κατὰ τὸ Μηναῖον, «...θρόνον σε ἐπὶ γῆς Παρθένε θεοπρεπῆ, εὑρηκὼς ἐπανεπαύσατο· εὐλογημένη σὺ ἐν γυναιξί, πανάμωμε Δέσποινα».



***Θεοτοκίον***

Κυρίως γεννήσασα Θεόν, κυρίως πάναγνε, Μήτηρ ἐδείχθης Θεοῦ, ἐπαληθεύουσαν φέρουσα, καταλλήλως τῷ γεννήματι, θεωνυμίαν οἱ πιστοὶ ὅθεν δοξάζομεν, Θεοτόκον, σὲ θεοφρόνως πανάμωμε Δέσποινα.

***Ὠδὴ θ΄. Λίθος ἀχειρότμητος***

Λῦσον τὰς σειρὰς τῶν πταισμάτων, τῶν εὐσεβῶς σε ἀνυμνούντων, ταῖς σαῖς ἱκεσίαις θεόφρον, Θεοδοσία μάρτυς πανεύφημε, Θεῷ τῷ παντοκράτορι, παρισταμένη πανσεβάσμιε.

Εὔας τῆς προμήτορος πόθον, ἐπιτηδείως ἀνυμνήσω,[1]) νεύσει πρὸς Θεὸν θεουμένη, καὶ γενομένη θείᾳ μεθέξει Θεός· διὸ σὲ παμμακάριστε Θεοδοσία μακαρίζομεν.

Ὅλος γλυκασμὸς χρηματίζει, ὁ σὸς νυμφίος ἀθλοφόρε·[2]) ὅλος ψυχικὴ θυμηδία, Θεοδοσία μάρτυς ὑπάρχει Χριστός· οὗπερ νῦν ἀπολαύουσα ταῖς σαῖς πρεσβείαις ἡμῶν μέμνησο.

***Θεοτοκίον***

Σαρκὶ ἐπιδημῆσαι θελήσας, ὁ διακοσμήσας πάντα Λόγος, ἐν σοὶ κατεσκήνωσε μόνην, ἁγιωτέραν πάντων εὑράμενος, καὶ Θεοτόκον ἔδειξεν ἐπ' ἀληθείας μητροπάρθενε.

---

[1]) Τὸ Μηναῖον ἔχει «ἐκομίσω».
[2]) Ἡ γραφὴ τοῦ Μηναίου «ἀθληφόρε».

*Ἐξαποστειλάριον*

*Γυναῖκες ἀκουτίσθητε*

Θεοδοσία πάνσοφε, τὴν νῆσον ταύτην φύλαττε, ἐκ πάσης περιστάσεως ἐπιβλαβοῦς καὶ κινδύνου, καὶ τὸν Θεὸν ἱκέτευε πταισμάτων δοῦναι ἄφεσιν, τοῖς πόθῳ ἑορτάζουσι, τὴν σὴν πανήγυριν ταύτην, κλέος τῆς Τύρου καὶ θαῦμα.

*Ἕτερον.*

*Ὁ οὐρανὸν τοῖς ἄστροις*

Παρισταμένη τῷ θρόνῳ, τοῦ σοῦ νυμφίου ὦ Μάρτυς μὴ παύσῃ ἐκδυσωποῦσα, ὑπὲρ τῶν σὲ ἀνυμνούντων, Θεοδοσία ἡ δόξα τῆς πόλεων βασιλίδος.

*Θεοτοκίον*

*Τὸ τῆς ἑορτῆς εἰ τύχοι ἢ τό:*

Χρυσοπλοκώτατε πύργε, καὶ δωδεκάτειχε πόλις.

*Εἰς τοὺς Αἴνους*

*Ἱστῶμεν στιχ. δ' καὶ ψάλλομεν τὰ παρόντα νέα προσόμοια. Ἦχος, α'. Τῶν οὐρανίων.*

Θεοδοσία ἡ μάρτυς, τῆς Τύρου καύχημα, τρωθεῖσα τῇ ἀγάπῃ, ἀθανάτου νυμφίου, ὑπέμεινεν ἀνδρείως, πάθη πολλά, καὶ τὸ αἷμα ἐξέχεεν, ὑπὲρ αὐτοῦ ἐκβοῶσα ὅτι Χριστός, Θεὸς πέλει ἀληθέστατος.



Σοῦ προσκυνοῦμεν ἐν φόβῳ, τὸ θεῖον λείψανον, Μάρτυς Θεοδοσία, Βυζαντίων τὸ κλέος· ψυχῶν τε καὶ σωμάτων δεινῶν παθῶν, ἰατρείαν αἰτούμενοι· ἥνπερ παράσχου πλουσίως ὡς τοῦ Χριστοῦ, καὶ ὁσία καὶ ἀθλήτρια.

Προσηγορίαν τὴν θείαν, πλουτεῖτε ἔνδοξοι, Θεοδοσίαι θεῖαι· τοῦ Θεοῦ γὰρ τῷ ὄντι, τελεῖτε λαμπρὰ δόσις, πάντας ἡμᾶς, κατευφραίνουσαι πάντοτε, τοὺς τῷ ναῷ ὑμῶν τούτῳ διὰ παντός, μετὰ πίστεως προστρέχοντας.

Τοῦ θείου μύρου πλησθεῖσαι, τῆς ὀσμῆς ἔνδοξοι, ἐκράζετε ὀπίσω, σοῦ νυμφίε δραμοῦμεν· ὀσμὴ γὰρ ἡ τῶν μύρων σου ἀληθῶς, ὑπὲρ πάντα ἀρώματα, εὐωδιάζουσα εἵλκυε πρὸς τὸν σόν, θεῖον πόθον τὰς νεάνιδας,

*Δόξα Ἦχος πλ. β'*

*Σήμερον ἀνέτειλεν ἡμῖν, ἡ τῶν καλλιπαρθένων μνήμη, καὶ συνωνύμων Θεοδοσιῶν, ὡς λαμπρὸς ἑωσφόρος, τοὺς φιλεόρτους καταφωτίζουσα ταῖς ἀκτῖσι τῶν ἰαμάτων· δεῦτε οὖν φιλέορτοι πνευματικῶς εὐφρανθῶμεν καὶ πλουτισθῶμεν τοῖς ἐνθέοις χαρίσμασι ψυχῶν τε καὶ σωμάτων τὴν ῥῶσιν κομιζόμενοι, καὶ πρὸς αὐτὰς ἅπαντες ἐκβοήσωμεν· Δυὰς ἀθλητριῶν κοσμοπόθητε, πάρεσο ἡμῖν βοηθὸς τῆς ἐνεστώσης ἀνάγκης· καὶ πρέσβευε πρὸς Κύριον, ἵνα ἵλεως γένητε ἡμῖν, ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως.*

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

***Καὶ νῦν***, τῆς ἑορτῆς ἢ τὸ παρὸν ***Θεοτοκίον***.

Θεοτόκε σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινή...

Δοξολογία μεγάλη καὶ Ἀπόλυσις. Εἰς τὴν Λειτουργίαν Τυπικά. Καὶ ἐκ τοῦ Κανόνος τῆς ἑορτῆς, εἰ τύχοι, ᾠδὴ γ΄ καὶ ς΄ ἐκ τῆς ἁγίας. εἰ δ' οὔ, πάντα τῆς ἁγίας. ***Ἀπόστολον*** ζήτει Δεκεμβρίου δ΄. Ἀδελφοὶ πρὸ τοῦ ἐλθεῖν τὴν πίστιν. ***Εὐαγγέλιον*** ζήτει κατὰ Μάρκον, Κεφάλ. Ε΄, «Τῷ καιρῷ ἐκείνῳ ἠκολούθει τῷ Ἰησοῦ». ***Κοινωνικόν***. Εἰς μνημόσυνον αἰώνιον.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

*Ἡ ἐκτύπωσις ἐγένετο εἰς τὸ Τυπογραφεῖον ΡΟΥΤΣΗ, ἐν Ἀθήναις, ὁδὸς Κωνσταντινουπόλεως ἀριθ. 247.*